Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XII. Quod Constantinus in tyrannorum aedibus, sicut Moses, educatus sit.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

ditorum & Reipublicæ commodum latas; alios denique plurimos Principatus labores ab eo exantlatos, qui in omniũ ore, ac memoria versantur, prætereundos mihi nunc esse arbitror: quippe cùm instituti operis argumentum admoneat me, ut ea sola quæ ad Dei cultum pertinent, dicendo ac scribendo persequar. Ceterùm cùm hæc ipsa numero pænè infinita sint; ex iis quæ ad notitiam nostram pervenerunt opportunissima quæque duntaxat; & posterorum memoria dignissima seligens, quàm potero brevissimè exponam. Siquidem tempus ipsum hanc deinceps licentiam nobis concedit, ut beatissimi Principis laudes quovis orationis genere liberè prædicemus. Nam antea quidem id facere nequaquam licebat, propterea quòd vetitum est ne quenquam ante obitum ob incertas vitæ mutationes beatum pronuntiemus. Proinde Deum adjutorem invoco, ac cæleste ejus Verbum precor, ut in hoc opere adspirare mihi velit. Ordiar autem à prima illius ætate in hunc modum.

Eccl. 11.

## Caput XII.

*Quòd Constantinus in tyrannorum ædibus, sicut Moyses, educatus sit.*

Vetus narrat historia, gentem Hebræorum à sævissimis olim tyrannis oppressam fuisse: Deumq; cùm oppressos benigno ac propitio vultu respexisset, providisse ut Propheta Moses qui tum adhuc infans erat, in mediis tyrannorum ædibus & in ipso eorum gremio educaretur, omnemque quæ apud illos erat sapientiam perdisceret. Postea verò cùm ille progressu temporis ad virilem pervenisset ætatem, & divina justitia quæ oppressis opitulari solet, pœnas ab iniquis tyrannis exposceret; tunc Dei Propheta ex ipsis tyrannicis profectus ædibus, divinæ voluntati ministerium suum exhibuit. Et ipsos quidẽ tyrannos à quibus fuerat educatus, re ac verbis aversatus est: eos verò qui reverà fratres & cognati erant, amicos ac familiares elegit. Posthæc Deus cùm illum totius gentis ducem constituisset, Hebræos quidem acerbissima apud hostes servitute liberavit: tyrannorum autem genus cælitus inflictis suppliciis ejus operâ ultus est. Vetus inquã hæc historia, instar fabulæ à multis accepta, omnium aures mortalium implevit. Nunc verò idem nobis Deus majora omnibus fabu-

A εἰρημένα. νόμων τε διατάξεις, ἃς ἐπὶ λυσιτελείᾳ τῶν ἀρχομένων πολιτείας συνετάττετο. πλείστους τ' ἄλλους βασιλικῶν ἄθλων ἀγῶνας, τούσδε παρὰ τοῖς πᾶσι μνημονευομένους, παρήσειν μοι δοκῶ. τοῦ τῆς προκειμένης ἡμῖν πραγματείας σκοποῦ, μόνα τὰ πρὸς τὸν θεοφιλῆ συντείνοντα βίον λέγειν τε καὶ γράφειν ὑποβάλλοντος· μυρίων δ' ὅσων ὄντων καὶ τούτων, τὰ καιριώτατα καὶ τοῖς μεθ' ἡμᾶς ἀξιομνημόνευτα τῶν εἰς ἡμᾶς ἐλθόντων ἀναλεξάμενος, τούτων αὐτῶν ὡς οἷόν τε διὰ βραχυτάτων ἐκθήσομαι τὴν ὑφήγησιν· τοῦ καιροῦ λοιπὸν ἐπιτρέποντος ἀκωλύτως παντοίαις φωναῖς τὸν ὡς ἀληθῶς μακάριον ἀνυμνεῖν· ᾧ μὴ τοῦτο πράττειν ἐξῆν πρὸ τούτου, τῷ μὴ μακαρίζειν ἄνδρα πρὸ τελευτῆς διὰ τὸ τῆς τοῦ βίου τροπῆς ἄδηλον παρηγγέλθαι. κεκλήσθω δ' ὁ Θεὸς βοηθὸς, οὐράνιός τε συνεργὸς ἡμῖν ἐμπνείτω λόγος. ἐξ αὐτῆς δ' ἤδη πρώτης ἡλικίας τοῦ ἀνδρὸς, ὧδέ πη τῆς γραφῆς ἀπαρξώμεθα.

## ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ὅτι ὡς Μωϋσῆς ἐν οἴκοις τυράννων ἀνετράφη καὶ Κωνσταντῖνος.

Παλαιὰ κατέχει φήμη, δεινὰ ἐπὶ γένη τυράννων, τὸν Ἑβραίων καταπονῆσαι λαὸν, Θεὸν δὲ τοῖς καταπονουμένοις εὐμενῆ παραφανέντα, Μωϋσέα Προφήτην ἔτι τότε νηπιάζοντα, μέσοις αὐτοῖς τυραννικοῖς οἴκοις τε καὶ κόλποις τραφῆναι, καὶ τῆς παρ' αὐτοῖς μετασχεῖν προνοῆσαι σοφίας. ὡς δ' ἐπιὼν ὁ χρόνος τὸν μὲν εἰς ἄνδρας ἐκάλει, δίκη δ' ἡ τῶν ἀδικουμένων ἀρωγὸς τοὺς ἀδικοῦντας μετῄει, τηνικαῦτα ἐξ αὐτῶν τυραννικῶν δωμάτων προελθὼν ὁ τοῦ Θεοῦ Προφήτης, τῇ τοῦ κρείττονος διηκονεῖτο βουλῇ. τῶν μὲν ἀναθρεψαμένων τυράννων, ἔργοις καὶ λόγοις ἀλλοτριούμενος. τοὺς δ' ἀληθεῖ λόγῳ σφετέρους ἀδελφούς τε καὶ συγγενεῖς, ἀποφαίνων γνωρίμους. ἔπειτα Θεὸς αὐτὸν καθηγεμόνα τοῦ παντὸς ἔθνους ἐγείρας, Ἑβραίους μὲν τῆς ὑπὸ τοῖς ἐχθροῖς ἠλευθέρου δουλείας. τὸ δὲ τυραννικὸν γένος θεηλάτοις μετῄρχετο δι' αὐτοῦ κολαστηρίοις. φήμη μὲν αὕτη παλαιὰ, μύθου μὲν σχήματι τοῖς πολλοῖς παραδεδομένη, τὰς πάντων ἀκοὰς ἐπλήρου· νυνὶ δὲ ὁ αὐτὸς καὶ ἡμῖν Θεὸς, μειζόνων

ἀντὶ μύθους θαυμάτων αὐτοπτικὰς θέας, νεαροῖς ὄψεσι πάσης ἀκοῆς ἀληθεστέρας δεδώρηται. τύραννοι μὲν γὰρ οἱ καθ' ἡμᾶς, τὸν ἐπὶ πάντων Θεὸν πολεμεῖν ὡρμημένοι, τὴν αὐτοῦ κατεπόνουν ἐκκλησίαν. μέσος δὲ τούτοις Κωνσταντῖνος, ὁ μετ' ὀλίγον τυραννοκτόνος, παῖς ἄρτι νέος. ἁπαλός. ὡραῖός τ' ἄνθους ἰούλοις, οἷά τις αὐτὸς ἐκεῖνος ὁ τοῦ Θεοῦ θεράπων, τυραννικαῖς ἐφήδρευσεν ἑστίαις· οὐ μὴν καὶ τρόπων τῶν ἴσων, καίπερ νέος ὤν, τοῖς ἀθέοις ἐκοινώνει. εἷλκε γὰρ αὐτὸν ἐξ ἐκείνου θείῳ πνεύματι, φύσις ἀγαθὴ πρὸς τὸν εὐσεβῆ καὶ Θεῷ κεχαρισμένον βίον· οὐ μὴν ἀλλὰ καὶ ζῆλος ἐνῆγε πατρικός, ἐπ' ἀγαθῶν μιμήσει τὸν παῖδα προκαλούμενος. πατὴρ γὰρ ἦν αὐτῷ, ὅτι δὴ καὶ ἄξιον ἐν καιρῷ τούτῳ τὴν μνήμην ἀναζωπυρῆσαι, περιφανέστατος τῶν καθ' ἡμᾶς αὐτοκρατόρων Κωνστάντιος. οὗ πέρι τὰ τῷ παιδὶ φέροντα κόσμον, βραχεῖ λόγῳ διελθεῖν ἀναγκαῖον.

A lis miracula ipsis oculis spectare concessit: quod genus spectaculi apud eos qui recens viderunt, omni auditione fide dignius habetur. Nostra enim ætate tyranni quidem qui adversus Deum summum omnium Regem bellum movere instituerant, ejus Ecclesiam graviter oppresserunt. Constantinus verò qui postea tyrannorum interfector fuit, dum adhuc adolescens esset & juvenili lanugine decorus, in medio illorum, ut quondam ille Dei famulus Moses, in ipsis ty-
B rannorum ædibus subsedit. Neq; tamen eosdem cum impiis mores, tametsi admodum adolescens, sectatus est. Quippe jam inde ab illa ętate, egregia indoles divino Spiritu impulsa, ipsum ad piam Deóque acceptam vitam incitabat. Sed & patris ęmulatio stimulos admovebat, quâ ad virtutis & bonorum actuum imitationem juvenis provocabatur. Pater siquidem ei fuit (nam & hujus memoriam opportunè renovare congruum est) Constantius: Imperatorum nostri temporis nobilissimus. De quo nonnulla quæ ad filii commendationem pertinent, breviter à nobis exponenda sunt.

## ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Περὶ Κωνσταντίου τοῦ πατρὸς αὐτοῦ, μὴ ἀνασχομένου τῶν περὶ Διοκλητιανὸν καὶ Μαξιμιανὸν καὶ Μαξέντιον, ὥστε διῶξαι τοὺς χριστιανούς.

Τεττάρων γάρ τοι τῆς Ῥωμαίων αὐτοκρατορικῆς κοινωνούντων ἀρχῆς, μόνος οὗτος ἀκοινώνητον τοῖς ἄλλοις περιβαλλόμενος τρόπον, τὴν πρὸς τὸν ἐπὶ πάντων Θεὸν φιλίαν ἐσπένδετο. οἱ μὲν γὰρ τὰς ἐκκλησίας τοῦ Θεοῦ πολιορκίᾳ δῃοῦντες, ἐξ ὕψους εἰς ἔδαφος καθῄρουν. αὐτοῖς θεμελίοις τοὺς εὐκτηρίους ἀφανίζοντες οἴκους· ὁ δὲ τῆς τούτων ἐναγοῦς δυσσεβείας καθαρὰς ἐφύλαττε τὰς χεῖρας, μηδαμῇ μηδαμῶς αὐτοῖς ἐξομοιούμενος. καὶ οἱ μὲν, ἐμφυλίοις θεοσεβῶν ἀνδρῶν τε καὶ γυναικῶν σφαγαῖς, τὰς ὑπ' αὐτοῖς ἐπαρχίας ἐμίαινον· ὁ δὲ τοῦ μύσους ἀμίαντον τὴν ἑαυτοῦ συνετήρει ψυχήν· καὶ οἱ μὲν συγκλύσει κακῶν εἰδωλολατρείας ἐκθέσμου, σφᾶς αὐτοὺς πρότερον, κἄπειτα τοὺς ὑπηκόους ἅπαντας, πονηρῶν δαιμόνων πλάναις κατεδουλοῦντο· ὁ δὲ εἰρήνης βαθυτάτης τοῖς ὑπ' αὐτοῦ βασιλευομένοις ἐξάρχων, τὰ τῆς εἰς Θεὸν εὐσεβείας ἄλυπα τοῖς οἰκείοις ἐβράβευεν. ἀλλὰ καὶ πᾶσι μὲν ἀνθρώποις βαρυτάτας εἰς πράξεις ἐπαιωροῦντες οἱ ἄλλοι,

C

## Caput XIII.

*De patre ejus Constantio, qui Christianos ut Diocletianus & Maximianus persequi noluit.*

CUm Imperium Romanum à quatuor Augustis regeretur, hic diversum à collegis suis vitę institutum æmulatus, solus cum Deo rerum omnium Moderatore pacem firmavit. Illi enim Ecclesias Dei expugnare adorti, solo æquarunt, & oratoria unà cum ipsis fundamentis aboleverunt. Hic verò à nefaria illorum impietate puras manus atque integras servavit, nec se ullatenus
D eorum similem præstitit. Et illi quidem Dei cultorum tam virorum quàm mulierum cædibus, tanquam civili quodam bello provincias sibi subjectas polluerunt. Hic verò animum ab hujusmodi scelere purum atque inviolatum semper servavit. Illi coacervatis impiissimæ superstitionis malis, seipsos primùm, ac deinde subditos omnes nequissimorum dæmonum fraudibus manciparunt. Hic profundissimæ pacis intra Imperii sui fines auctor ac signifer, subditis suis permisit ut absque ulla molestia divino cultui inservirent. Denique illi cunctos mortales gravissimis exactionibus opprimendo, vitam illis minimè vitalem &